καί νιν ἀμειβόμενος
τᾶδ᾽ ἔφα· „θνατοῖϲι μὴ φῦναι φέριϲτον
ε′ μηδ᾽ ἀελίου προϲιδεῖν
φέγγοϲ· ἀλλ᾽ οὐ γάρ τίϲ ἐϲτιν
πρᾶξιϲ τάδε μυρομένοιϲ,
χρὴ κεῖνο λέγειν ὅτι καὶ μέλλει τελεῖν.
ἦρά τιϲ ἐν μεγάροιϲ
Οἰνῆοϲ ἀρηϊφίλου
ἔϲτιν ἀδ|μήτα θυγάτ|ρων,
ϲοὶ φυὰν ἀλιγκία;
τάν κεν λιπαρὰν ⟨ἐ⟩θέλων θείμαν ἄκοιτιν.“
τὸν δὲ μενεπτολέμου
ψυχὰ προϲέφα Μελεά-
γ|ρου· „λίπον χλωραύχενα
ἐν δώμαϲι Δαϊάνειραν,
νῆϊν ἔτι χ|ρῡϲέαϲ
Κύπ|ριδοϲ θελξιμβρότου.“
λευκώλενε Καλλιόπα,
ϲτᾶϲον εὐποίητον ἅρμα
αὐτοῦ· Δία τε Κ|ρονίδαν
ὕμνηϲον Ὀλύμπιον ἀρχαγὸν θεῶν,